1. Καὶ συχνοὺς μὲν Ἑλλήνων πέπυσμαι νομίσαι φάναι Πυθαγόραν ἐξ ἀριθμοῦ πάντα φύεσθαι. αὐτὸς δὲ ὁ λόγος **ἀπορησίας** ἔχεται, πῶς ἃ μηδὲ ἔστιν ἐπινοεῖται καὶ γεννᾶν. ὁ δὲ οὐκ ἐξ ἀριθμοῦ, κατὰ δὲ ἀριθμὸν ἔλεγε πάντα γίγνεσθαι,

Θεανώ, *Περὶ εὐσεβείας*

**Οι διάλεκτοι**

*Θεανώ*

2. Θεανὼ Εὐκλείδῃ ἰατρῷ. Τὸ σκέλος τις ἐπεπήρωτο χθὲς καὶ ὁ καλέσων ἦλθε πρός σε (παρῆν δὲ καὶ αὐτή· τῶν συνήθων γὰρ ἦν ὁ τρωθείς), ἅμα δὲ τάχει ἀπήντησε λέγων ὡς καὶ ὁ ἰατρὸς πονήρως ἔχει καὶ ἀλγεῖ τὸ σῶμα. καὶ τὴν λύπην ἐγώ (ὄμνυμι τοὺς θεούς) ἀφεῖσα τοῦ συνήθους ἐκείνου τὸν ἰατρὸν κατὰ νοῦν εἶχον καὶ ἠντιβόλουν τὴν Πανάκειαν καὶ τὸν **κλυτότοξον** Ἀπόλλω, μή τι συμβαίη τῷ ἰατρῷ ἀνιαρόν.

   (ὄμνυμι Ἀπόλλωνα ἰητρὸν καὶ Ἀσκληπιὸν καὶ Ὑγείαν καὶ Πανάκειαν)

*Περικτιόνη*

3. Περικτιόνης Πυθαγορείας ἐκ τοῦ *Περὶ γυναικὸς ἁρμονίας*. Τὴν ἁρμονίην γυναῖκα νώσασθαι δεῖ φρονήσιός τε καὶ σωφροσύνης πλείην· κάρτα γὰρ ψυχὴν πεπνῦσθαι δεῖ εἰς ἀρετήν, ὥστ' ἔσται καὶ δικαίη καὶ ἀνδρηίη καὶ φρονέουσα καὶ αὐταρκείῃ καλλυνομένη καὶ κενὴν δόξην μισέουσα.
4. Περικτιόνης Πυθαγορείας *Περὶ σοφίας*. Γέγονε δὲ καὶ συνέστα ὁ ἄνθρωπος ποττὸ θεωρῆσαι τὸν λόγον τᾶς τῶ ὅλω φύσιος· καὶ τᾶς σοφίας ἔργον ἐστὶν αὐτὸ τοῦτο κτήσασθαι καὶ θεωρῆσαι τὰν τῶν ἐόντων φρόνασιν. Ἐν ταὐτῷ. Γαμετρία μὲν ὦν καὶ ἀριθμητικὰ καὶ τἄλλα τὰ θεωρητικὰ καὶ ἐπιστῆμαι καὶ περὶ τῶν ἐόντων κατασχολέονται, ἁ δὲ σοφία περὶ πάντα τὰ γένη τῶν ἐόντων.

*Μυῖα*

5. Μυῖα Φύλλιδι χαίρειν. Γενομένᾳ τοι ματέρι παίδων τάδε παραινέω. τίτθαν μὲν ἐκλέξασθαι τὰν ἐπιταδειοτάταν καὶ καθάριον, ἔτι δὲ αἰδήμονα καὶ μὴ ὕπνῳ προσοικειουμέναν μηδὲ μὴν μέθᾳ. ἁ τοιάδε γὰρ ἂν κρίνοιτο κρατίστα ποττὸ ἐκτρέφειν ἐλευθέρως παῖδας, ἐάν γε δὴ γάλα τρόφιμον ἔχῃ καὶ μὴ ταῖς πρὸς ἄνδρα κοίταις εὐνίκατος πέλῃ.

*Φιντύς*

6. Φιντύος τᾶς Καλλικράτεος (Καλλικρατίδου?) θυγατρὸς Πυθαγορείας ἐκ τοῦ *Περὶ γυναικὸς σωφροσύνας*. Τὸ μὲν ὅλον ἀγαθὰν δεῖ ἦμεν καὶ κοσμίαν· ἄνευ γὰρ ἀρετᾶς οὐδέποκα γένοιτό τις τοιαύτα. ἑκάστα γὰρ ἀρετὰ περὶ ἕκαστον γινομένα τὸ αὐτᾶς δεκτικὸν ἀποδίδωτι σπουδαῖον· ἁ μὲν τῶν ὀπτίλων τὼς ὀπτίλως,ἁ δὲ τᾶς ἀκοᾶς τὰν ἀκοάν, καὶ ἁ μὲν ἵππω τὸν ἵππον, ἁ δ' ἀνδρὸς τὸν ἄνδρα· οὕτω δὲ καὶ <ἁ> γυναικὸς τὰν γυναῖκα.

Μέλισσα

7. χρὴ ὦν τὰν σώφρονα καὶ ἐλευθέραν τῷ κατὰ νόμον ἀνδρὶ ποτῆμεν ἁσυχᾶ κεκαλλωπισμέναν ἀλλὰ μὴ πολυκερδῶς, ἦμεν δὲ τᾷ ἐσθᾶτιλευκοείμονα καὶ καθάριον καὶ ἀφελῆ, ἀλλὰ μὴ πολυτελῆ καὶ περισσάν·παραιτητέον γὰρ αὐτᾷ τὰν διαυγῆ καὶ διαπόρφυρον καὶ τὰ χρυσόπαστατῶν ἐνδυμάτων. ταῖς ἑταίραις γὰρ τάδε χρήσιμα ποττὰν τῶν πλεόνων θήραν, τᾶς δὲ ποθ' ἕνα τὸν ἴδιον εὐαρεστούσας γυναικὸς κόσμος ὁ τρόπος πέλει καὶ οὐχ αἱ στολαί· εὔμορφον γὰρ τὰν ἐλευθέραν ἰδέσθαιτῷ αὑτᾶς ἀνδρί, ἀλλ' οὐ τοῖς πλασίον.

*Πτολεμαῒς ἡ Κυρηναία*

8. γράφει γέ τοι περὶ τούτου (sc. τοῦ κανόνος) καὶ Πτολεμαῒς ἡ Κυρηναία ἐν τῇ *Πυθαγορικῇ τῆς μουσικῆς στοιχειώσει* ταῦτα· «Ἡ οὖν κανονικὴ πραγματεία, κατὰ τίνας μᾶλλόν ἐστι; καθόλου κατὰ τοὺς Πυθαγορικούς· ἣν γὰρ νῦν ἁρμονικὴν λέγομεν, ἐκεῖνοι κανονικὴν ὠνόμαζον. ἀπὸ τίνος κανονικὴν αὐτὴν λέγομεν; οὐκ ὡς ἔνιοι νομίζουσι ἀπὸ τοῦ κανόνος ὀργάνου παρονομασθεῖσαν, ἀλλ' ἀπὸ τῆς εὐθύτητος ὡς διὰ ταύτης τῆς πραγματείας τὸ υραὀρθὸν τοῦ λόγου εὑρόντος καὶ τὰ τοῦ ἡρμοσμένου παραπήγματα.

Ἀρεσᾶς/Αἰσάρα

9. Stob. 1.49.27 p. 355 Wa. (Mullach 2 p. 51) Ἀρεσᾶ Πυθαγορείου Λευκανοῦ ἐκ τοῦ *Περὶ ἀνθρώπω φύσεως*. Φύσις ἀνθρώπω κανών μοι δοκεῖ νόμω τε καὶ δίκας ἦμεν καὶ οἴκω τε καὶ πόλιος. ἴχνια γὰρ ἐν αὐτῷ στιβαζόμενος εὕροιτό κά τις καὶ μαστευόμενος· νόμος γὰρ ἐν αὐτῷ καὶ δίκαά τᾶς ψυχᾶς ἐστι διακόσμασις. τριχθαδία γὰρ ὑπάρχοισα ἐπὶ τριχθαδίοις ἔργοις συνέστακε· γνώμαν καὶ φρόνασιν ἐργαζόμενος <ὁ νόος> καὶ ἀλκὰν καὶ δύναμιν <ἁ θύμωσις> καὶ ἔρωτα καὶ φιλοφροσύναν ἁ ἐπιθυμία.

-----------------------------------------------------------------

**Χρονολόγηση**

10. Terminus ante quem: Κλήμης *Στρωματεῖς* 4.7.44: **Θεανὼ γὰρ ἡ Πυθαγορικὴ γράφει·** «ἦν γὰρ <ἂν> τῷ ὄντι τοῖς κακοῖς εὐωχία ὁ βίος πονηρευσαμένοις· ἔπειτα τελευτῶσιν, εἰ μὴ ἦν ἀθάνατος ἡ ψυχή, ἕρμαιον ὁ θάνατος»
    Terminus post quem:
11. Scribonius Largus *Compositiones* Εισαγωγικό σημείωμα: Hippocrates, conditor nostrae professionis, initia disciplinae ab **iureiurando tradidit**, in quo sanctum est, ut ne praegnanti quidem medicamentum, quo conceptum excutitur, aut detur aut demonstretur a quoquam medico, longe praeformans animos discentium ad humanitatem.

**Περιεχόμενο**

12. τὰς τοιαύτας ἡδονὰς ἀφαίρει, καὶ τὴν τροφὴν αὐστηράν, μὴ τρυφερὰν οὕτω ποιοῦσα καὶ ἐῶσα καὶ λιμὸν καὶ δίψος ἐνεγκεῖν, ἔτι δὲ καὶ ψῦχος καὶ θάλπος καὶ αἰδῶ τὴν ἀπὸ τῶν συνηλίκων ἢ τῶν ἐπιστατῶν·
13. ἀθυμεῖς δὲ δι' οὐδὲν ἄλλο ἢ <ὅτι> ᾧ συνοικεῖς ἐπὶ ἑταίραν ἥκει καὶ ταύτῃ τὴν ἡδονὴν λαμβάνει τοῦ σώματος. ἀλλ' οὐχ οὕτω σε δεῖ ἔχειν, ὦ θαυμασία τῶν γυναικῶν …σοῦ μὲν γὰρ σχέσει καὶ φύσει καὶ λόγῳ φροντιεῖ ὁ ἀνήρ, ὅτε δέ ποτε κόρον λήψεται, κατὰ πάροδον τῇ ἑταίρᾳ συνοικήσει. ὅτι καὶ οἷς **χυμὸς φθοροποιὸς ἐναπόκειται, τῶν τροφῶν ἔρως ἐστί τις τῶν οὐκ ἀγαθῶν**.
14. Ἤκουον τὴν τοῦ ἀνδρός σου παράνοιαν, ὅτι τὴν ἑταίραν ἔχει, σὺ δὲ ὅτι ζηλοτυπεῖς αὐτόν… εἶθ' ἑταίρᾳ μὲν πρὸς ἡδονὴν ὁμιλεῖ, γαμετῇ δὲ πρὸς τὸ συμφέρον·…νόμιζε οὖν πρὸς μὲν τὴν ἑταίραν ῥᾳθυμήσοντα πορεύεσθαι ἐκεῖνον, σοὶ δὲ συμβιώσοντα παρεῖναι, καὶ σὲ μὲν φιλεῖν κατὰ γνώμην, ἐκείνην δὲ τῷ πάθει. βραχὺς δὲ ὁ τούτου καιρός· ἅμα γάρ ποτε ἔχει καὶ κόρον, καὶ παρίσταται ταχὺ καὶ παύεται. ὀλιγοχρόνιος γὰρ ὁ καιρός ἐστι πρὸς ἑταίραν ἀνδρὶ μὴ σφόδρα κακῷ·
15. Πλούταρχος *Γαμικὰ Παραγγέλματα*: ἂν οὖν ἰδιώτης ἀνήρ, ἀκρατὴς δὲ περὶ τὰς ἡδονὰς καὶ ἀνάγωγος, ἐξαμάρτῃ τι πρὸς ἑταίραν ἢ θεραπαινίδα, δεῖ τὴν γαμετὴν μὴ ἀγανακτεῖν μηδὲ χαλεπαίνειν, λογιζομένην ὅτι παροινίας καὶ ἀκολασίας καὶ ὕβρεως αἰδούμενος αὐτὴν ἑτέρᾳ μεταδίδωσιν
16. Τερέντιος *Heauton Timorumenos*:
    BACCHIS ANTIPHILA CLINIA SYRVS
    {BA.} Edepol te, mea Antiphila, laudo et fortunatam iudico,
    id quom studuisti isti formae ut mores consimiles forent;
    minimeque, ita me dĭ ament, miror si te sibi quisque expetit.
    nam mihi quale ingenium haberes fuit indicio oratio:
    et quom egomet nunc mecum in animo vitam t<ua>m considero
    omniumque adeo vostrarum volgu' quae ab se segregant,
    et vos esse isti(u)s modi et nos non esse haud mirabilest.
    nam expedit bonăs esse vobis; nos, quibu'cum est res, non sinunt:
    quippe forma inpulsi nostra nos amatores colunt;
    haec ubi immutata est, illi suom animum alio conferunt:
    nisi si prospectum interea aliquid est, desertae vivimus.
    vobis cum uno semel ubi aetatem agere decretumst viro,
    quoi(u)s mos maxumest consimili' vostrum, [h]î se ad vos adplicant.
    hoc beneficio utrique ab utrisque vero devincimini,
    ut numquam ulla amori vostro incidere possit calamitas.
    {AN.} nescio alias: mequidem semper sciŏ fecisse sedulo
    ut ĕx illiu' commodo meŭm compararem commodum.

Μερικές σημαντικές μελέτες:

Dutsch, Dorota M. 2020. *Pythagorean women philosophers: between belief and suspicion*, Oxford Studies in Classical Literature and Gender Theory. Oxford: Oxford University Press.

Huizenga, Annette Bourland. 2013. *Philosophers of the household : moral education for women in the Pastoral and Pythagorean letters*. Leiden: Brill.

Pomeroy, Sarah B. 2013. *Pythagorean women: their history and writings*. Baltimore (Md.): Johns Hopkins University Press.